# 08 IULIE
# SF.NICODIM ATHONITUL

# SLUJBA SF.CUVIOS TEOFIL DE LA PANTOCRATOR-ATHOS



# MINEIUL PE IULIE-GR


Ὁ ἍΓΙΟΣ
ΘΕΟΦΙΛΟΣ
Ὁ ΜΥΡΟΒΛΥΤΗΣ

www.tezaurliturgic.ro

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΟΣΙΟΥ ΘΕΟΦΙΛΟΥ ΜΥΡΟΒΛΥΤΟΥ

**Ποίημα τοῦ Ὁσίου Νικοδήμου τοῦ Ἁγιορείτου.**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Εἰς τὸ «Κύριε, ἐκέκραξα» ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Προσόμοια.**

*Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Τῶν μοναστῶν αἱ χορεῖαι δεῦτε συνδράμωμεν, τῇ μνήμῃ τοῦ Ὁσίου, καὶ Πατρὸς Θεοφίλου· οὗτος γὰρ ἀσκήσας ὧδε καλῶς, μακαρίου τετύχηκε, τέλους καὶ μύρα ἐκβλύζειν ὑπερφυῶς, ἠξιώθη μετὰ θάνατον.

Τῆς διακρίσεως λύχνος ὤφθης ἀοίδιμε, φωτίζων τοὺς ἐν Ὄρει, διδαχαῖς σου ἐνθέοις, καὶ πάντας πλανωμένους καθοδηγῶν, πρὸς ὁδὸν τὴν σωτήριον· ὅθεν καὶ γέγονας πᾶσιν ὀνομαστός, καὶ ἐξάκουστος Θεόφιλε.

Τοῦ Ἀρσενίου τὸν τρόπον ἐκμιμησάμενος, Θεόφιλε τρισμάκαρ, ἐν πολλῇ ἡσυχίᾳ, διήνυσας τὸν βίον καὶ μαθητῇ, τῷ σαυτοῦ παρηγγύησας, εἰς τὸν δρυμὸν ἀπορρῖψαι σῶμα τὸ σόν, ἵνα τοῦτο μείνῃ ἄτιμον.

Εἰς τὴν ὀσμὴν τῶν σῶν μύρων, Πάτερ συνήλθομεν· ὀσμή σου γὰρ ὑπάρχει, ὡς ὀσμὴ ἀγροῦ πλήρους, διάπνοια λιβάνου τοῦ θαυμαστοῦ, Παραδείσου ἀπόρροια, τῶν ἀρωμάτων ἁπάντων ἀποφορά· διὸ πάντας εὐωδίασον.

## Δόξα. *Ἦχος πλ. α΄.*

Δεῦτε φιλεόρτων τὸ σύστημα, πνευματικὴν χορείαν στησάμενοι, τὸν μυροβλύτην Θεόφιλον μακαρίσωμεν· οὗτος γὰρ ἅπαντας τοὺς μακαρισμοὺς τοῦ Κυρίου, ἐν ἑαυτῷ ἐθησαύρισε· πτωχεύσας γὰρ τῷ πνεύματι ἀνυψώθη· πραϋνθείς, τὴν γῆν τῶν πραέων ἐκληρονόμησε· πενθήσας παρεκλήθη, πεινάσας ἐχορτάσθη, ἐλεήσας ἠλεήθη, καθαρθεὶς τὴν καρδίαν, τὸν Θεὸν ὡς δυνατὸν ἐθεάσατο· εἰρηνοποιήσας, υἱὸς Θεοῦ ἐκλήθη, καὶ ὀνειδισθεὶς ὑπὲρ δικαιοσύνης, τῆς Οὐρανῶν βασιλείας κατηξιώθη· καὶ νῦν πρεσβεύει ἐκτενῶς τῷ Κυρίῳ, ὑπὲρ πάντων τῶν τιμώντων, τὴν πάνσεπτον αὐτοῦ κοίμησιν.

## Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

# ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

**Στιχηρὰ Προσόμοια.** *Ἦχος δ'. Οἶκος τοῦ Ἐφραθᾶ.*

Πράξεως ἐπιβάς, τῷ ἅρματι Θεόφρον, καὶ καθαρθεὶς τὴν φρένα, ἀνέδραμες εἰς ὕψος, τῆς θεωρίας Ὅσιε.

Στίχος. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Πρᾶος καὶ ταπεινός, φαιδρός τε καὶ χαρίεις, ὑπῆρχες Θεοφόρε, σιγῶσα καὶ λαλοῦσα, παραίνεσις Θεόφιλε.

Στίχος. Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ.

Μύροις σου τοῖς σεπτοῖς, μύρισον ἡμᾶς πάντας, τοὺς σὲ ἀνευφημοῦντας, μεμυρισμένοις ὕμνοις, ὦ Μυροβλύτα Ἅγιε.

**Δόξα Πατρί.** *Ὅμοιον.*

Δόξα σοι Ἰησοῦ, Υἱὲ Θεοῦ τοῦ ζῶντος, ὅτι ἐν τοῖς ὑστέροις, χρόνοις τὸν Ὅσιόν σου, ἡγίασας Θεόφιλον.

**Καὶ νῦν. Θεοτοκίον.** *Ὅμοιον.*

Δέσποινα Μαριάμ, συνάμα Θεοφίλῳ, δυσώπει τὸν Υἱόν σου, ἡμᾶς κατοικτιρῆσαι, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro

# ΑΠΟΛΥΤΙΚΙΟΝ

*Ἦχος α'. Τῆς ἐρήμου πολίτης.**

Τῆς Ζίχνης θεῖος γόνος καὶ Θεοῦ φίλος γνήσιος, φερωνύμως ἐδείχθης Θεοφόρε Θεόφιλε, ἀσκήσας ἐν τῷ Ἄθωνι στερρῶς, καὶ μύρον ἀναβλύσας θαυμαστῶς· διὰ τοῦτό σου τὴν μνήμην τὴν ἱεράν, τιμῶμεν ἀνακράζοντες· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, ἡμῖν Πάτερ τὰ κρείττονα.

**Ἕτερον. Δόξα.** *Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ἀστὴρ λαμπρότατος ἐδείχθης τοῦ Ἄθω, νεοφανὴς μὲν ἐν τοῖς χρόνοις Παμμάκαρ, τῇ πολιτείᾳ δὲ ὑπάρχων ἰσοστάσιος, καὶ συναμιλλώμενος, τοῖς Ὁσίοις τοῖς πάλαι· ὅθεν σε γεραίρομεν, ὦ Θεόφιλε Πάτερ, οἱ σοὶ οἰκέται οὓς ἐν τῇ μονῇ, ταύτῃ συνῆξας, ἐν ᾗ τετελείωσαι.

## Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ σταυρὸν ἑκουσίως, ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

---

* Ποίημα Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου.

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Στιχολογοῦμεν τὸ «Μακάριος ἀνήρ». Εἰς δὲ τὸ «Κύριε, ἐκέκραξα» ἱστῶμεν στίχους η' καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου δευτεροῦντες αὐτά.**

*Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Ἱερέων ἀγλάισμα, ἀσκητῶν τὸ καλλώπισμα, Ζίχνης τε τὸ καύχημα καὶ ἐξαίρετον, Ὄρους τοῦ Ἄθω ἐντρύφημα, Θεόφιλον ἅπαντες, μοναζόντων οἱ χοροί, ἐπαξίως τιμήσωμεν, ἐκμιμούμενοι, τὸν φιλήσυχον τρόπον, τὴν πτωχείαν, καὶ ταπείνωσιν τὴν τούτου, καὶ τὴν ζωὴν τὴν ἰσάγγελον. *(Δίς)*

Ἐπὶ γῆς σε ἐδόξασεν, ὁ Χριστὸς Παναοίδιμε, ὡς Αὐτὸν δοξάσαντα ἔργοις πρότερον· τὸ γὰρ σὸν λείψανον ἔδειξε, πηγὴν μύρων Ὅσιε, ἀναβλύζουσαν ἀεί, καὶ δυσώδη ἐκπλύνουσαν, πάθη ἅπαντα, καὶ ψυχῆς τε καὶ σώματος αἰσθήσεις, τῶν πιστῶς σοι προστρεχόντων, εὐωδιάζουσαν πάντοτε. *(Δίς)*

Τῇ ἀγάπῃ πυρούμενος, τοῦ Χριστοῦ ἱερώτατε, ἅπαντα μεμίσηκας κόσμον Ὅσιε, τρυφὴν καὶ δόξαν τὴν ῥέουσαν, τὸν πλοῦτον τὸν πρόσκαιρον, καὶ ματαίας ἡδονάς, καὶ ἐνταῦθα κατῴκησας, παναοίδιμε, καὶ ἡσύχως τὸν βίον διανύσας, μετ᾽ Ἀγγέλων νῦν ἀγάλλῃ, καὶ τῶν Ὁσίων Θεόφιλε. *(Δίς)*

Ταπεινώσεως ἔφθασας, εἰς τὸ ἄκρον Θεόφιλε· διό παρηγγύησας τῷ θεράποντι, τῷ σῷ μὴ θάψαι τὸ σῶμά σου, εἰς γῆν ἀλλὰ ἄταφον, ἀπορρῖψαι εἰς δρυμόν· ὅθεν βλέπων ὁ Κύριος, τὴν ταπείνωσιν, τῆς ψυχῆς σου σὲ ὕψωσε δικαίως, καὶ πλουσίαν τὴν τῶν μύρων, χάριν σοι δέδωκεν Ἅγιε. *(Δίς)*

**Δόξα.** *Ἦχος πλ. β΄.*

Σήμερον ἐπέφανεν ὡς ἀστὴρ νεοφανής, ἡ τοῦ Ὁσίου Θεοφίλου πανσεβάσμιος μνήμη, τὰς διανοίας τῶν πιστῶν καταυγάζουσα. Δεῦτε οὖν οἱ τὸν ἱερὸν Ἄθω οἰκοῦντες, ᾀσματικοῖς ἐγκωμίοις, αὐτὸν προσείπωμεν λέγοντες· χαίροις, ὁ τοῖς χρόνοις μὲν νέος, τοῖς δὲ τρόποις χρηματίσας, τῶν παλαιῶν Ὁσίων ἐφάμιλλος· χαίροις, ὁ ἐπὶ γῆς ὡς Ἄγγελος τῷ Θεῷ λειτουργήσας, διὰ τῆς μυστηριώδους ἱερωσύνης· χαίροις, ὁ γενόμενος ναὸς τῆς ἁγνείας καὶ καθαρότητος, καὶ διὰ τοῦτο μύρα βλύζειν ἠξιωμένος· πρέσβευε ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, τῶν μετὰ πόθου τελούντων, τὸ ἱερόν σου μνημόσυνον.

**Καὶ νῦν. Θεοτοκίον.** *Ὁ αὐτός.*

Τίς μὴ μακαρίσῃ σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσῃ σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενής, ὁ αὐτὸς ἐκ σοῦ

τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, Σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, τὸ «Φῶς ἱλαρόν», τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα.**

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (κεφ. γ' 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
## (κεφ. ε' 15-23 καὶ ς' 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.

Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ απότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καί σύνετε, μάθετε, δικασταὶ περάτων γῆς, ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (κεφ. δ' 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος απατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

# ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. *Ἦχος α΄.**

Εὐφραίνου ἐν Κυρίῳ, ἡ τὸν Ὅσιον Θεόφιλον κατέχουσα Καψάλα· ἀγάλλου καὶ χόρευε, ὡς καλλίστη μήτηρ· ἐν σοὶ γὰρ ἀνετράφη, ὡς ἄνθος πανεύοσμον, καὶ τὴν Ἐκκλησίαν εὔφρανε, τῇ τῶν θείων χαρισμάτων εὐωδίᾳ· ἀγγελικῶς γὰρ ἐν σοὶ βιωσάμενος, μυροθήκη ὤφθη τοῦ Πνεύματος, καὶ μετὰ θάνατον βλύζειν μύρα, θαυμαστῶς ἠξίωται, ἐμφαίνων πᾶσι, τὴν πρὸς Θεὸν οἰκείωσιν· καὶ τὴν σεπτὴν αὐτοῦ μνήμην ἑορτάζουσα, τῷ Σωτῆρι βόησον· Κύριε δόξα σοι.

*Ὁ αὐτός.*

Πάτερ Θεόφιλε, σὺ τῷ θεοφόρῳ Νήφωνι συνομιλήσας, καὶ φίλος γενόμενος, εἰκότως καὶ τῶν ἀρετῶν ἐκείνου καὶ τῆς ἀσκήσεως, μιμητὴς καὶ κληρονόμος γέγονας· ὅθεν κόσμον καὶ τὰ ἐν κόσμῳ τερπνά, παραβλέψας ὡς σκύβαλα, διὰ τῆς ἐνταῦθα ἡσυχίας, τῶν παθῶν σεαυτὸν ἀπεκάθηρας, καὶ καθαρὸν ἐχρημάτισας, τῶν χαρισμάτων τοῦ Ἁγίου Πνεύματος, ἐνδιαίτημα, ὅπερ μετάδος δεόμεθα, καὶ ἡμῖν τοῖς ἐκ πόθου τιμῶσι τὴν μνήμην σου.

---

* Ποίημα Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου. Ἀνεφέρετο εἰς τὴν γενέτειραν τοῦ Ὁσίου Ζίχνην, ἀλλὰ προσηρμόσθη εἰς τὴν ἁγιοτρόφον Καψάλαν.

*Ὁ αὐτός.*

Ὅσιε Τρισμάκαρ, Μυροβλύτα Θεόφιλε, σὺ παρρησίαν ὡς ἔχων πρὸς Χριστὸν τὸν Θεόν, ὃν ἐκ νεότητός σου ὁλοψύχως ἠγάπησας, καὶ τὰς σάρκας σου δι' Αὐτὸν τῇ ἀσκήσει κατέτηξας, ταύτην τὴν Μονήν, ἣν μετὰ πόνων καὶ ἱδρώτων ἀνήγειρας, σκέπασον ὡς ἀετὸς σκεπάζει τὴν ἑαυτοῦ νοσσιάν· καὶ ἡμᾶς τοὺς ἐν αὐτῇ οἰκοῦντας, ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ καὶ ὑπομονῇ περιφρούρησον· μνήσθητι Πάτερ τῆς μετὰ σώματος ἐνταῦθα ἀναστροφῆς σου, κληρονόμους ἡμᾶς, τὰ σὰ τέκνα, τῶν ἀρετῶν καὶ τοῦ μακαριστοῦ τέλους ἀνάδειξον, ἵνα σε κατὰ χρέος, ὡς προστάτην καὶ εὐεργέτην ἡμῶν, ἀεὶ μεγαλύνωμεν.

**Δόξα.** *Ἦχος β'.*

Τίς ἡ ὀσμὴ αὕτη ἡ γλυκυτάτη καὶ εὔοσμος; τίς ἡ εὐωδία διὰ τοῦ μύρου, ἡ ἐντεῦθεν ἀναδιδομένη, καὶ τοὺς ἀσκοῦντας εὐωδιάζουσα; τοῦ Μυροβλύτου Θεοφίλου ὑπάρχει τὸ θαυματούργημα· οὗτος γὰρ μύρῳ θείῳ χρισθείς, πρότερον τῆς ἱερωσύνης, εἶτα καὶ ἄνθη ποικίλα τῶν ἀρετῶν ἐν ἑαυτῷ συλλέξας, τῷ πυρὶ τῆς καρδίας ἑψήσας, μύρον νοητὸν κατεσκεύασε, τῇ χάριτι τοῦ Ἁγίου Πνεύματος· διὸ καὶ μετὰ θάνατον, τὸ λείψανον τούτου ἐνταῦθα ἀποτεθέν, μύρα εὐώδη πηγάζει, ὧν εἰς τὴν ὀσμὴν καὶ ἡμεῖς συνελθόντες, δοξάζομεν Χριστὸν τὸν αὐτὸν δοξάσαντα.

**Καὶ νῦν. Θεοτοκίον.** *Ὁ αὐτός.*

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

**Στιχηρὰ Προσόμοια.** *Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.*

Φίλος ἀνεδείχθης τοῦ Θεοῦ, Ὅσιε Θεόφιλε Πάτερ, ὡς ἀγαπήσας Αὐτόν, ὅλης ἐκ καρδίας σου, ἀπὸ νεότητος, ἐφετῶν ὡς ἀκρότατον, καὶ μόνον ποθήσας, ὄντα ὑπεράξιον ἐκ πάσης φύσεως· ὅθεν φερωνύμως τὴν κλῆσιν, τὴν τοῦ Θεοφίλου ἐκτήσω, σύμφωνον τοῖς ἔργοις τε καὶ πράγμασιν.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Εὖγε τῆς ἡδείας σου ὀσμῆς, εὖγε τῆς τερπνῆς εὐωδίας, τῶν θείων μύρων σου, Ὅσιε Θεόφιλε, δι᾽ ἧς εὐφραίνεις ἡμᾶς, τοὺς σοὺς δούλους ἑκάστοτε, ὧδε εἰσιόντας, εἰς ναὸν τὸν ἅγιον, ἐν ᾧ ἀπόκειται, λείψανον τὸ θεῖόν σου Πάτερ, καὶ πρὸς πόθον πάντας ἀνάγεις, μύρου οὐρανίου Παναοίδιμε.

Στίχος. Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ.

Ὅτε ἐκαθάρθης τῶν παθῶν, διὰ προσευχῆς καὶ νηστείας, καὶ ἡσυχίας πολλῆς, τότε πρᾶος γέγονας, Πάτερ Θεόφιλε, ταπεινὸς καὶ ἀκέραιος, χαρίεις τὸ

σῶμα, λαμπρὸς δὲ τῷ πνεύματι καὶ χαριέστερος, νέος Ἀβραὰμ ἐν τοῖς τρόποις· ὅθεν καὶ ἡμᾶς μιμητάς σου, τούς ἀνευφημοῦντάς σε ἀνάδειξον.

## Δόξα. *Ἦχος δ'.*

Δοξάζομέν σου τὴν περὶ ἡμᾶς εὐσπλαγχνίαν, Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, ὅτι ἐν τοῖς ὑστέροις καιροῖς τὸν Ὅσιον Θεόφιλον, τῇ ἁγιαστικῇ σου χάριτι ἁγιάσας, Ἅγιον καὶ Μυροβλύτην, ὡς ἕνα τῶν παλαιῶν Ἁγίων ἀνέδειξας· καὶ ἡμῖν τοῖς νωθροῖς καὶ ἀμελέσι, τοῦτον ἐχαρίσω πατέρα καὶ παράδειγμα ζωῆς ἐναρέτου, προτεθειμένον εἰς μίμησιν, ἵνα ἀναπολόγητοι ὦμεν, καὶ μὴ ματαίως ἔχωμεν λέγειν, ὅτι ἐξέλιπον ἐν τοῖς ὑστέροις χρόνοις οἱ Ἅγιοι· ὅθεν ταῖς πρεσβείαις αὐτοῦ, καὶ ἡμᾶς ἀξίωσον Κύριε, ἐν ὁσιότητι βίου εὐαρεστῆσαί σοι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων φύλαττε τοὺς δούλους σου, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro

# ΑΠΟΛΥΤΙΚΙΟΝ

*Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς τοῦ Σωτῆρος γνησιώτατον φίλον, καὶ τῶν ἐν Ἄθῳ εὐωδέστατον κρίνον, καὶ νοητὸν ἀλάβαστρον ὁσίων ἀρετῶν, ἱεροῖς ἐν ᾄσμασιν, εὐφημοῦμέν σε Πάτερ, εἰς ὀσμὴν τῶν μύρων σου, εὐλαβῶς συνδραμόντες, δι' ὧν εὐφραίνεις πάντοτε ἡμᾶς, τοὺς σὲ τιμῶντας, Θεόφιλε Ὅσιε.

**Ἕτερον. Δόξα.** *Ὅμοιον.*

Ἀστὴρ λαμπρότατος ἐδείχθης τοῦ Ἄθω, νεοφανὴς μὲν ἐν τοῖς χρόνοις Παμμάκαρ, τῇ πολιτείᾳ δὲ ὑπάρχων ἰσοστάσιος, καὶ συναμιλλώμενος τοῖς Ὁσίοις τοῖς πάλαι· ὅθεν σε γεραίρομεν, ὦ Θεόφιλε Πάτερ, οἱ σοὶ ἱκέται, οὓς ἐν τῇ Μονῇ, ταύτῃ συνῆξας, ἐν ᾗ τετελείωσαι.

**Καὶ νῦν. Θεοτοκίον.** *Ἦχος ὁ αὐτός.*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ σταυρὸν ἑκουσίως, ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὸν Ἑξάψαλμον καὶ τὸ «Θεὸς Κύριος» τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μ. Ἑσπερινῷ.**

**Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.**
*Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Η μνήμη σου σοφέ, νῦν ἡμῖν ἐπιστᾶσα, εὐφραίνει νοητῶς, καὶ πρὸς πόθον ἐγείρει, τῆς θείας πολιτείας σου, καὶ τοῦ τέλους οὗ ἔτυχες, Παμμακάριστε, ἐν τῷ Κελλίῳ σου τούτῳ· ὅθεν πρέσβευε, σοῦ μιμητὰς ἡμᾶς πάντας, γενέσθαι Θεόφιλε.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Παρθένος ἀληθῶς, πρὸ τοῦ τόκου Παρθένε, Παρθένος ἀληθῶς, ἐν τῷ τόκῳ Παρθένε, Παρθένος ἀειπάρθενος, μετὰ τόκον διέμεινας· ὅθεν δέομαι, ὡς ἡγεμὼν τῶν Παρθένων, παρθενεύειν με, νοΐ, ψυχῇ σώματί τε, Παρθένε ἐνίσχυσον.

**Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.**
*Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τίς οὐ θαυμάσειε, μύρου τὴν εὔπνοιαν, Πάτερ Θεόφιλε, ἣν τὸ σὸν λείψανον, ἀναπηγάζει μυστικῶς, τοῖς ὧδε εἰσερχομένοις; χάριτι τοῦ Πνεύματος, ὑπὲρ

νάρδον καὶ λίβανον, καὶ ὑπὲρ πᾶν ἄρωμα, σμύρναν, κρόκον καὶ κάλαμον, μυρίζον τὰς αἰσθήσεις Θεόφρον, ψυχῶν ὁμοῦ καὶ τῶν σωμάτων.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Κατατιτρώσκει με, βέλος γλυκύτατον, τῆς ἀγαπήσεως, τῆς σῆς Πανύμνητε, καὶ καταθέλγει με πυκνῶς, βοᾶν σοι εὐλογημένη· χαῖρε πύλη πάγχρυσε, ἡ Θεὸν ἀναδείξασα, ἄνθρωπον γενόμενον, εἰς τὸ σῶσαι τὸν ἄνθρωπον, ἀτρέπτῳ Αὐτοῦ φύσει, τῷ τοκετῷ σου, ἀνθρώπους δὲ θεοὺς κατὰ χάριν.

**Μετὰ δὲ τὸν Πολυέλεον, Κάθισμα.**

*Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Ἀπορρήξας τὴν ψυχήν, τῆς συμπαθείας τῆς σαρκός, καὶ γηΐνων καὶ τῆς γῆς, ἁπάσης σχέσεως Σοφέ, ἀκτήμων ἔζησας ἐν ἡσυχίᾳ, μελέτῃ τῶν Γραφῶν ἐκτρεφόμενος, καὶ δάκρυσιν ἀεὶ ἀρδευόμενος, Θεοῦ ἀγάπης ἔφθασας εἰς ὕψος, Πάτερ Θεόφιλε Ὅσιε, ὃν ἐκδυσώπει, ὢ Μυροβλύτα, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ἀπειρόγαμε Ἁγνή, πῶς συλλαμβάνεις ἐν γαστρί, τῶν ἁπάντων τὴν πνοήν, περιλαμβάνοντα χερσί; φράσον ἡμῖν τὸν λόγον τοῦ μυστηρίου. Πανάληθές ἐστι, τοῦτο ὢ ἄνθρωπε, καὶ παῦσαι ἐρευνῶν, τὸ δυσθεώρητον, ὕψος καὶ βάθος, μῆκος καὶ πλάτος, τῆς ἀπορρήτου λοχείας μου· νικᾷ γὰρ ὄντως,ἔννοιαν πᾶσαν, τὴν βροτῶν καὶ Ἀγγέλων.

**Οἱ Ἀναβαθμοὶ καὶ τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου.**

**Προκείμενον.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

www.tezaurliturgic.ro

Στίχος. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

**Εἶτα τὸ «Πᾶσα πνοὴ» καὶ τὸ Εὐαγγέλιον, ὅπερ ζήτει τῇ ε΄ Δεκεμβρίου. Καὶ ὁ Ν΄ Ψαλμός (χύμα).**

**Δόξα.** Ταῖς τοῦ σοῦ Ὁσίου... **Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου...

**Εἶτα τὸ Ἰδιόμελον.** *Ἦχος πλ. β΄.*

Στίχος. Ἐλέησόν με ὁ Θεός...

Σήμερον ὁ Ἱερεὺς τοῦ Χριστοῦ καὶ Ὅσιος Θεόφιλος, ἡ Ἀβραμιαία πολιὰ καὶ αἰδέσιμος, τὸν δρόμον τοῦ βίου τελέσας, τὸν τοῖς Ὁσίοις πρέποντα ὕπνωσε θάνατον, καὶ καταλιπὼν τὰ ἐπὶ γῆς, καὶ τὴν παροῦσαν κέλλαν, εἰς οὐρανοὺς ἀνέρχεται, ὑπὸ φωτεινῶν Ἀγγέλων παραπεμπόμενος, ἵνα κομίσηται τῶν τῆς ἀσκήσεως πόνων τὰ ἔπαθλα. Καὶ νῦν ἐν ταῖς φωτειναῖς τῶν Ὁσίων σκηναῖς αὐλίζεται, ἀμέσως τῷ ποθουμένῳ Ἰησοῦ παριστάμενος· καὶ φωτὸς Αὐτοῦ καὶ ὡραιότητος ἀπολαύων, πρεσβεύει ἐκτενῶς ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου τελούντων τὴν αὐτοῦ σεπτὴν κοίμησιν.

**Ὁ Ἱερεὺς τό:** Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

**Εἶτα οἱ Κανόνες τῆς Θεοτόκου, μετὰ τῶν Εἱρμῶν εἰς ς΄, καὶ τοῦ Ὁσίου εἰς η΄.**

## Ὁ Κανὼν τῆς Θεοτόκου. (Ἰωάννου Δαμασκηνοῦ).

### Ὠδὴ α΄. *Ἦχος πλ. δ΄.* Ὁ Εἱρμός.

*Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν Αἰγυπτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.* *(Δίς)*

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν, ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιμπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου Πανάμωμε.

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

## Κανὼν τοῦ Ὁσίου Θεοφίλου.

Ποίημα Νικοδήμου τοῦ Ἁγιορείτου

*Ἦχος ὁ αὐτός. Ἁρματηλάτην Φαραώ...*

Φωτιστικαῖς τοῦ συμφυοῦς σου Πνεύματος, ἀκτῖσι φώτισον, τὴν ἐμὴν καρδίαν, Λόγε Ὑπεράγαθε, ὡς ἂν ἀξίως σήμερον, Θεοφίλου τὴν μνήμην, ἀνευφημήσω ἐν ᾄσμασι, τοῦ τὸ σὸν τελέσαντος θέλημα.

Ἐκ νεαρᾶς σου ἡλικίας γέγονας, φρόνιμος Ὅσιε, καὶ τῷ τοῦ Κυρίου, φόβῳ στοιχειούμενος, πάσας αὐτοῦ ἐτήρησας, ἐντολὰς Θεοφόρε, ἐν αἷς ζωὴν τὴν αἰώνιον, εὕρηκας Παμμάκαρ Θεόφιλε.

## Δόξα.

Ἐν ἐγκρατείᾳ τῆς σαρκὸς ἐμάρανας, τὰς ἀκαθέκτους ὁρμάς, καὶ ἐπιθυμίας, σώματος Θεόφιλε, καὶ πρὸς Θεοῦ τὸν ἔρωτα, ταύτας ἔτρεψας πάσας, Θεὸν ποθῶν μόνον Ὅσιε, καὶ Θεῷ ἀεὶ προσκολλώμενος.

## Καὶ νῦν. Θεοτοκίον.

Χείλη σου Κόρη κρίνα ὤφθη στάζοντα, σμύρναν ὡς γέγραπται, καὶ γλυκὺ κηρίον, ὡς πυκνῶς φιλήσαντα, καὶ πόθῳ ἀσπασάμενα, τὸν Θεὸν τῶν ἁπάντων, βρέφος ἐκ σοῦ χρηματίσαντα, ὃν ἐμοὶ Παρθένε ἱλέωσαι.

**Καταβασία.** *Ἀνοίξω τὸ στόμα μου...*

## Τῆς Θεοτόκου. Ὠδὴ γ΄. Ὁ Εἱρμός.

*Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε Φιλάνθρωπε.* *(Δίς)*

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ Παρθένε, σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη Πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γὰρ Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη Πανάχραντε.

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρὸν Πανάμωμε, τὸν ἀδαπάνητον.

**Τοῦ Ὁσίου.** *Ὁ στερεώσας...*

Τὸ θυμικὸν τῆς σῆς ψυχῆς, τῇ τοῦ πλησίον ἀγάπῃ, ἀπενέκρωσας Θεόφιλε Πάτερ, καὶ μετήνεγκας αὐτοῦ, κατὰ παθῶν τὴν κίνησιν, καὶ κατὰ τῶν δαιμόνων, νοῦν ἡγεμόνα κτησάμενος. *(Δίς)*

Τὸ τῆς ψυχῆς λογιστικόν, ἐν προσευχῇ ἀενάῳ, καὶ μελέτῃ τῇ τῶν θείων λογίων, ἀπεκάθηρας Σοφέ, τῶν πονηρῶν προλήψεων, καὶ πρὸς τὴν θεωρίαν, Θεοῦ ἐπτέρωσας Ὅσιε. *(Δίς)*

**Δόξα.**

Ὅλον ψυχῆς τὸ τριμερές, ἀποκαθάρας Θεόφρον, τῶν παθῶν τῆς Ὑπερθέου Τριάδος, ἐχρημάτισας τερπνόν, Παμμάκαρ ἐνδιαίτημα, καὶ τῶν Αὐτῆς χαρίτων, ἔμπλεως γέγονας Ὅσιε.

**Καὶ νῦν. Θεοτοκίον.**

www.tezaurliturgic.ro

Χεῖρές σου Κόρη τορευταί, καὶ ἀποστάζουσαι σμύρναν, ὡς ἡ ῎Ασματος φωνή σοι προσᾴδει· τὸν Θεὸν γὰρ ἐν αὐταῖς, ἐνηγκαλίσω Πάναγνε, καὶ τὸν κρατοῦντα πάντα, ἐν ταῖς χερσί σου ἐκράτησας.

**Καταβασία.** *Τοὺς σοὺς ὑμνολόγους...*

**Κάθισμα.** *Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ...*

Ὡς ἀηδὼν γοργογλυκύφωνος Πάτερ, ἔνδον τοῦ ἄλσους κατοικῶν τοῦ παρόντος, τοῦ Ἰησοῦ τὸ ὄνομα τὸ θεῖον καὶ τερπνόν, ἐμελέτας πάντοτε, γλυκερῶς ἐν καρδίᾳ, τὸν μὲν νοῦν φωτίζων σου, τῷ φωτὶ τῷ ἐκ τούτου, θέλγων δὲ τὴν θέλησιν, τῇ ἐκεῖθεν βλυζούσῃ, ὁμαλωτάτῃ θέρμῃ καὶ χαρᾷ, ἥνπερ παράσχου ἡμῖν τοῖς ἱκέταις * σου.

**Δόξα. Καὶ νῦν. Θεοτοκίον.**

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ᾽ ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

**Τῆς Θεοτόκου. Ὠδὴ δ΄. Ὁ Εἱρμός.**

*Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον· κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.* *(Δίς)*

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

---

* Τὸ χειρόγραφον ἔχει «οἰκέταις».

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν Εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ἀπολαύοντες Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

**Τοῦ Ὁσίου. *Ὁ αὐτός.***

Ἐμπαθείας μὲν σῶμά σου, τῆς δὲ προσπαθείας τὸν νοῦν καθάρας σου, τὴν ψυχὴν ἡδυπαθείας τε, ἀπαθείας ὤφθης οἶκος Ὅσιε.

Εἰς τὸ ἄκρον ἀνέδραμες, Πάτερ τῆς ἁγνείας καὶ καθαρότητος, καὶ τὰ μύρα τούτου σύμβολον, τὰ ἐκ τῶν ὀστέων σου πηγάζοντα.

**Δόξα.**

Καλλιγράφος γεγένησαι, βίβλους τὰς ἁγίας ἐπιμελούμενος, εἰς πολλῶν ψυχῶν ὠφέλειαν, αἳ καὶ νῦν εἰσέτι Πάτερ σῴζονται.

**Καὶ νῦν. Θεοτοκίον.**

Ὡς* ὡραία ἡ ὄψις σου, καὶ ἡ λαλιά σου ὑπάρχει Δέσποινα! τὸν γὰρ Κύριον ἐγέννησας, τὸν ὡραῖον κάλλει ὑπὲρ ἅπαντας.

---

* Εἰς τὸ χειρόγραφον κεῖται «τί» ἀντὶ «ὡς», ὅπερ μᾶλλον ὀρθότερον.

**Καταβασία.** *Τὴν ἀνεξιχνίαστον...*

**Τῆς Θεοτόκου. Ὠδὴ ε΄. Ὁ Εἱρμός.**

*Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην, παράσχου ἡμῖν Φιλάνθρωπε.* *(Δίς)*

Ἔμπλησον Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης, ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε Ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην, τὴν πάντα νοῦν ὑπερέχουσαν.

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον.

Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν, τῇ πρεσβείᾳ σου παράσχου μοι.

**Τοῦ Ὁσίου.** *Ἱνατί με ἀπώσω...*

Ἐν καρδίᾳ σου ἔχων, μύρον τὸ ἀκένωτον Χριστὸν τὸν Κύριον, καὶ ταῖς ἐνεργείαις, ταῖς Αὐτοῦ πιωθεὶς καὶ ταῖς χάρισι, μύρον ἐσκευάσθης, καὶ μύρα βλύζειν ἠξιώθης, ἐκ τοῦ θείου λειψάνου σου Ὅσιε.

Ως ἀστὴρ ἑωσφόρος, ἔλαμψεν ὁ βίος σου Πάτερ Θεόφιλε, ἐν ὑστέροις χρόνοις, διαλύων ἡμῶν τὴν σκοτόμαιναν, καὶ θερμαίνων πάντας, σοῦ μιμητὰς Μάκαρ γενέσθαι, ἵνα δόξης τῆς σῆς ἐπιτύχωμεν.

**Δόξα.**

Εσταυρώθη σοι κόσμος, αἰσθητῶς φυγόντι τὸν κόσμον Θεόφιλε, καὶ σὺ ἐσταυρώθης, ἀντιστρόφως τῷ κόσμῳ Μακάριε, νοητῶς τοῦ κόσμου, τοὺς λογισμοὺς φυγὼν καὶ πάθη, κατὰ Παῦλον τὸν θεῖον Ἀπόστολον.

**Καὶ νῦν. Θεοτοκίον.**

Οφθαλμοί σου Παρθένε, ὡς περιστεραὶ καθαραὶ ἀνεδείχθησαν, κατὰ Σολομῶντα· τὸν Θεὸν γὰρ ἐθεάσαντο, ἐκ σοῦ βρεφωθέντα, καὶ αἰσθητῆς καὶ νοουμένης, θεωρίας Αὐτοῦ κατετρύφησαν.

**Καταβασία.** *Ἐξέστη τὰ σύμπαντα...*

**Τῆς Θεοτόκου. Ὠδὴ ς΄. Ὁ Εἱρμός.**

*Τὴν δέησίν μου ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅδῃ προσήγγισε· καὶ δέομαι ὡς Ἰωνᾶς· ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.* *(Δίς)*

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν· καὶ δέομαι διὰ παντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ' ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς Ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

**Τοῦ Ὁσίου.** *Ἱλάσθητί μοι Σωτήρ...*

Μακάριος ἀληθῶς, ἐγένου Πάτερ Θεόφιλε, ὅτι ἐν νόμῳ Θεοῦ, ἀεὶ ἐμελέτησας, καὶ ὅτι τὸν Κύριον, φοβούμενος ὤφθης, ὡς Δαυὶδ ψάλλει ὁ ἔνθεος.

Τῇ εὐωδίᾳ τῶν σῶν, μύρων ἀπόσμηξον Ἅγιε, τὴν δυσωδίαν παθῶν, ψυχῆς μου καὶ εὔοσμον, ἀρεταῖς με ποίησον, ἵνα σε κηρύττω, Μυροβλύτην ἐν τοῖς πέρασιν.

**Δόξα.**

Ὡς ἱερέα τὸν νοῦν, ἔχων Παμμάκαρ Θεόφιλε, τὴν δὲ καρδίαν τὴν σήν, ὡς θυσιαστήριον, Θεῷ ὡλοκαύτωσας, τὴν προαίρεσίν σου, πυρὶ θλίψεων ὡς σφάγιον.

**Καὶ νῦν. Θεοτοκίον.**

Δύω μαστοί σου Ἁγνή, νεβροὶ δορκάδος ὡς δίδυμοι· τὸν τρέφοντα γὰρ Θεόν, πνοὴν πᾶσαν ἔθρεψαν, γάλακτι Πανάμωμε, ἐπὶ σωτηρίᾳ, τῶν βροτῶν ἐνανθρωπήσαντα.

**Καταβασία.** *Τὴν θείαν ταύτην...*

**Κοντάκιον.** *Ἦχος γ'. Ἡ Παρθένος σήμερον...*

Τοῖς ἀνθρώποις Κύριος, θέλων γνωρίσαι Τρισμάκαρ, ὅτι ἦν ὁ βίος σου, πάνυ εὐάρεστος τούτῳ, ἔδειξε, τὸ λείψανόν σου πηγὴν τῶν μύρων, ἅπαντας, εὐωδιάζον τοὺς προσιόντας. Διὰ τοῦτό σε τιμῶμεν, οἱ σοὶ ἱκέται, Θεόφιλε Ὅσιε.

**Ὁ Οἶκος.**

Τῷ ἐν Ὁσίοις Ἱερεῖ καὶ ἐν Ἱερεῦσιν Ὁσίῳ Θεοφίλῳ τῷ Μυροβλύτη, τίς μὴ προσοίσῃ τὸν ὀφειλόμενον ἔπαινον; δίκαια γὰρ αὐτῷ τὰ γέρα, εἴγε, κατὰ τὸν εἰπόντα, μισθὸς ἀρετῆς ἔπαινος. Τοῦτον τοίνυν τὸν μέγαν, ἀγέραστον μέχρι τοῦδε ὁρῶν, ᾀσματικοῖς ἐγκωμίοις τιμῆσαι προήχθην ἐγώ, ὁ δυσώδης τὸν Μυροβλύτην, καὶ ὁ ἐναγὴς τὸν Ἅγιον· κόσμον γὰρ καὶ τὰ ἐν κόσμῳ λιπὼν ὁ ἀοίδιμος, ἐν τῇ παρούσῃ κέλλῃ ἡσυχαστικῶς τὸν βίον διήνυσε, πράξεως καὶ θεωρίας, τῶν δύο τῆς σοφίας ἀκρωτηρίων, εἰς τὸ τέλος ἐληλακώς, καὶ μετὰ θάνατον μύρα ὤφθη, ἐκ τοῦ λειψάνου αὐτοῦ ἀναβλύσας, εἰς δεῖγμα τῆς ἄκρας Αὐτοῦ ἁγνείας καὶ καθαρότητος. Ἀλλ', ὦ Πάτερ Ἁγιώτατε, μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν τῶν σῶν τέκνων, τῶν μετὰ πόθου τὴν σὴν μνήμην τελούντων, Θεόφιλε Ὅσιε.

www.tezaurliturgic.ro

## Συναξάριον.

Τῇ η΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Προκοπίου.

### Στίχοι:

Ἔοικε Προκόπιος αὐχένα κλίνων
λέγειν· κοπείτω· τῇ πλάνῃ γὰρ οὐ θύω.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ Ἁγία Θεοδοσία, ἡ μήτηρ τοῦ Ἁγίου Προκοπίου, ξίφει τελειοῦται.

Τῇ αὐτῇ ἡμέρᾳ αἱ Ἅγιαι δώδεκα γυναῖκες αἱ συγκλητικαὶ καὶ οἱ Ἀντίοχος καὶ Νικόστρατος οἱ τριβοῦνοι, οἱ διὰ τοῦ ἀνωτέρω Ἁγίου Προκοπίου πιστεύσαντες, τελειοῦνται.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου Μάρτυρος Αὐδᾶ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου Νέου Ἱερομάρτυρος Ἀναστασίου (1743).

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Θεοφίλου τοῦ Μυροβλύτου.

### Στίχοι:

Θεὸν φιλήσας Θεόφιλος γεννάδας
ἤδη σύνεστι τῷ φιλουμένῳ ἄνω*.
Εἰς πόλον ὀγδοάτῃ ἀνέβη Θεόφιλος ἀμύμων.

---

* Εἰς τὸ Συναξαριακὸν Δίστιχον τὸ χειρόγραφον ἔχει «πάνω» ἀντὶ «ἄνω», ὡς «ἄνω» ἔχει καὶ ὁ Συναξαριστὴς τοῦ Ἁγίου Νικοδήμου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Τῆς Θεοτόκου. Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

*Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες παῖδες ἐν Βαβυλῶνί ποτε, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.* *(Δίς)*

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητός εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀρρωστίας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστόν, ἡμῖν ἀποτεκοῦσα.

Τοῦ Ὁσίου. *Παῖδες Ἑβραίων ἐν καμίνῳ...*

Κλαύσας πενθήσας καὶ στενάξας, ὦ Θεόφιλε ἐν τῷ προσκαίρῳ βίῳ, παρεκλήθης ἐκεῖ, ἀρρήτῳ παρακλήσει, καὶ χαίρεις ἀτελεύτητα, εἰς αἰῶνας τῶν αἰώνων.

Ὕπνον οὐκ ἔδωκας Τρισμάκαρ, τοῖς βλεφάροις σου ἕως οὗ εὗρες τόπον, ἐν καρδίᾳ τῇ σῇ, ἐν ᾧ μονὴν ποιήσας, Χριστὸς ὥσπερ ὑπέσχετο, ἔπλησέ σε χαρισμάτων.

**Δόξα.**

Βέλη πυρφόρα τῶν δαιμόνων, σὺ κατέσβεσας περιφραχθεὶς τῇ πίστει· ταπεινώσει δὲ τῇ σῇ, κατέβαλες γενναίως, τὸν ἀλαζόνα δράκοντα, καὶ ἐνίκησας εἰς τέλος.

**Καὶ νῦν. Θεοτοκίον.**

Ζῶντί μοι πάρεσο προστάτις, καὶ ἐκλείποντι παρήγορος γενοῦ μοι, καὶ ἑστῶτι Ἁγνή, ἐν κρίσει φάνηθί μοι, ὑπέρμαχος Θεόνυμφε, ῥυομένη καταδίκης.

**Καταβασία.** *Οὐκ ἐλάτρευσαν...*

**Τῆς Θεοτόκου. Ὠδὴ η΄. Ὁ Εἱρμός.**

*Τὸν βασιλέα τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.* *(Δίς)*

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντας, Σὲ Κόρη εἰς αἰῶνας.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι, τὸν ἄφραστόν σου τόκον.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σε δοξάζω, τὴν Κεχαριτωμένην.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

**Τοῦ Ὁσίου.** *Τὸν ἐν ὄρει ἁγίῳ...*

Ὡς τεθρίππῳ ἅρματι κεχρημένος, τῇ φρονήσει ἀνδρείᾳ σωφροσύνῃ, δικαιοσύνῃ δι' αὐτῶν ἀνέδραμες, γνώσεως εἰς ὕψος, καὶ τῆς ἀπαθείας, Θεόφιλε Τρισμάκαρ.

Στῦλος ὤφθης πυρὸς τοὺς ἐν τῷ Ὄρει, καταυγάζων Θεόφιλε σοῖς λόγοις, καὶ ὁδηγῶν πρὸς πολιτείαν ἔνθεον, τοὺς σοὶ πειθομένους, καὶ πρὸς τὴν εὐθεῖαν, ὁδὸν τῆς σωτηρίας.

**Δόξα.**

Μύρισόν με μεμυρισμένε Πάτερ, μυριπνόοις ὀδμαῖς σεπτῶν σου μύρων, μεμυρισμένοις ὕμνοις ἵνα μέλπω σοι, τὸ μυροβλυτῆσαν, Παμμάκαρ λείψανόν σου, ἔνδοξε μυρορρόα.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἐν ἀγκάλαις βαστάζουσα τὸν κτίστην, ἡ Παρθένος ἐβόα δεομένη· ἐπεὶ μητέρα ἔσχες με τὴν δούλην σου, σῶσον ὦ Υἱέ μου, τοὺς προσφεύγοντάς μοι, καὶ ῥῦσαι τῆς γεέννης.

**Καταβασία.** *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ...*

**Τῆς Θεοτόκου. Ὠδὴ θ΄. Ὁ Εἱρμός.**

*Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι, Παρθένε Ἁγνή, σὺν ἀσωμάτοις χορείαις σὲ μεγαλύνοντες.* *(Δίς)*

Ροήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε, Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον, σὲ καταγγέλλοντας.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα Παρθένε θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

**Τοῦ Ὁσίου.** *Ἐξέστη ἐπὶ τούτῳ...*

Νικήσας σάρκα κόσμον καὶ τὸν δεινόν, κοσμοκράτορα Πάτερ Θεόφιλε, τῷ παντουργῷ, σθένει δυναμούμενος τοῦ Χριστοῦ, τὸ στέφος νῦν ἀπείληφας, ὡς τῆς συνειδήσεως τὸ μακρόν, μαρτύριον ἐν βίῳ, γενναίως ὑπομείνας, τῇ προαιρέσει θνῄσκων πάντοτε.

Τὸ ἔσχατον κατείληφας ἐφετῶν, καὶ ὁρᾷς τὸν γλυκὺν καὶ ποθούμενον, καὶ ἐραστήν, πράγματι καὶ ὄνομα Ἰησοῦν, πρόσωπον νῦν πρὸς πρόσωπον, καὶ Αὐτοῦ τῆς δόξης τῆς θεϊκῆς, ἀμέσως ἀπολαύεις, Θεόφιλε Τρισμάκαρ, οἷα θεὸς θέσει καὶ χάριτι.

**Δόξα.**

Οὐκ ἔχω ἄλλο τί σοι προσαγαγεῖν, Μυροβλύτα Θεόφιλε Ὅσιε, ὁ ταπεινὸς ἐγώ, καὶ ταλαίπωρος ἀληθῶς, ᾠδὴν μικράν σοι Ἅγιε, πλέξας προσενήνοχα ἐκ ψυχῆς, καὶ δέξαι λοιπὸν ταύτην, χηριακὸν ὡς δῶρον, καὶ ἐμὲ σῶσον ταῖς πρεσβείαις σου.

**Καὶ νῦν. Θεοτοκίον.**

Παράκλητον προβάλλομεν πρὸς Θεόν, σὲ Παρθένε οἱ δοῦλοί σου ἅπαντες· ὅθεν Ἁγνή, δέησιν προσάγαγε σῷ Υἱῷ, Πατρί τε καὶ τῷ Πνεύματι, τῷ ἑνὶ τῶν πάντων Δημιουργῷ, Τριάδι τῇ Ἁγίᾳ, ἵνα ἡμᾶς οἰκτίρῃ, καὶ πάντας σώσῃ Κοσμοσώτειρα.

**Καταβασία.** *Ἅπας γηγενής...*

## Ἐξαποστειλάριον. *Γυναῖκες ἀκουτίσθητε...*

Αγάλλεσθε οἰκήτορες, τῆς κέλλης ταύτης σήμερον, δεδοξασμένον ὁρῶντες, παρὰ Κυρίου τὸν ταύτης, δομήτορα καὶ κτίτορα, Θεόφιλον τὸν Ὅσιον, μυροβλυτῶν ἀγλάισμα, τῶν μοναζόντων* τὸ κλέος, καὶ ἱερέων τὴν δόξαν.

## Θεοτοκίον.

Χαῖρε κατάρας λύτρωσις, καὶ τοῦ Ἀδὰμ ἀνάκλησις· χαῖρε Ἁγνὴ Θεοτόκε, ἐλπὶς καὶ σκέπη τοῦ κόσμου· χαῖρε σεμνὴ Μητρόθεε· χαῖρε τὸ θεῖον ὄχημα· χαῖρε ἡ κλῖμαξ καὶ πύλη· χαῖρε κούφη νεφέλη· χαῖρε τῆς Εὔας ἡ λύσις.




* Τὸ χειρόγραφον ἔχει: «τῶν ἐλλογίμων».

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

**Μετὰ τὸ «Πᾶσα πνοὴ» ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Προσόμοια δευτεροῦντες τὰ δύο πρῶτα.**

*Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὅσιε Πάτερ Θεόφιλε, τὴν τεθλιμμένην ὁδόν, καὶ στενὴν σὺ διώδευσας, τῷ ψύχει πηγνύμενος, καὶ πενίᾳ στενούμενος, καὶ ταῖς νηστείαις κατατηκόμενος, καὶ ἀγρυπνίαις ἐκπιεζόμενος· ὅθεν κατῴκησας, πλάτος τὸ εὐρύχωρον νῦν τῆς Ἐδέμ, καὶ ἐπαναπέπαυσαι, ἐν ταῖς Ἁγίων μοναῖς. *(Δίς)*

Ὅσιε Πάτερ Θεόφιλε, ἐν ἡσυχίᾳ πολλῇ, τὴν ζωήν σου διήνυσας, καὶ τὸν σπόρον ἔσπειρας, ἀρετῶν ἐν τοῖς δάκρυσιν· ὅθεν θερίζεις νῦν χαρᾶς δράγματα, καὶ συγκομίζεις καρποὺς τῶν πόνων σου, συναυλιζόμενος, ταῖς Ἀγγέλων τάξεσι, καὶ Ἀσκητῶν, θείαις ὁμηγύρεσι, συνευφραινόμενος. *(Δίς)*

Ὅσιε πάτερ Θεόφιλε, τῇ θεωρίᾳ ὁμοῦ, καὶ τῇ πράξει χρησάμενος, δυσὶν ὥσπερ πτέρυξιν, ἐκ τοῦ ἄλσους ἐπέτασας, τούτου εἰς ὄρη τὰ ὑπερκόσμια, καὶ καλιάν σου ἐκεῖ πηξάμενος, νῦν ἀναπέπαυσαι, ὡς χρυσῆ καὶ πάγκαλλος περιστερά, ἔνθα ἡμῶν μέμνησο, τῶν μεμνημένων σου.

www.tezaurliturgic.ro

Ω τοῦ παραδόξου θαύματος! πῶς τὰ νεκρά σου ὀστᾶ, Θεοφόρε Θεόφιλε, μύρον ἀναβλύζουσι, καὶ εὐφραίνουσιν ἅπαντας, τοὺς εἰσιόντας ἐνταῦθα Ἅγιε, καὶ ἰαμάτων πηγὰς προχέουσιν; Ὄντως οὐ δώρημα, τῆς θνησκούσης φύσεως τοῦτό ἐστι, τῆς δὲ θείας χάριτος, ἥ σε ἡγίασεν.

**Δόξα.** *Ὁ αὐτός.*

Θεόφιλε Ὅσιε, τὴν σὴν ἐτήσιον μνήμην, δικαίως ὡς Ἁγίου γεραίρομεν· ὁ βίος σου γὰρ θεοφιλής, τὸ τέλος θεοφιλέστερον, καὶ τὰ μετὰ τέλος θεοφιλέστατα· μαρτύριον δὲ ἀψευδὲς τῆς σῆς ἁγιότητος, τὸ μύρον ὑπάρχει, τὸ ἐκ τῶν ἱερῶν ἀναβλύζον λειψάνων σου, ὃ σπανίοις τῶν Ἁγίων, παρὰ Θεοῦ ἐχαρίσθη. Ὅθεν τίς μὴ καλέσῃ σε Ἅγιον, ὃν ἡ Ἁγία Τριὰς ἐδόξασεν; Ἅγιος ἀληθῶς ὑπάρχων, καὶ πρὸς Θεὸν Ἁγίων ἔχων τὴν παρρησίαν, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν σῶν φιλοπατόρων υἱῶν, τῶν ἐκ πόθου τελούντων, τὴν σεβάσμιον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα πρόσδεξαι...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**






## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου αἱ Ὠδαὶ γ' καὶ ς'.**

**Ἀπόστολος τοῦ Ὁσίου.**

**Προκείμενον.** *Ἦχος βαρύς.*

Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Στίχος. Ἄσατε τῷ Κυρίῳ...

www.tezaurliturgic.ro

**Πρὸς Γαλάτας Ἐπιστολῆς...**

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη...

Ζήτει αὐτὸν τῷ Σαββάτῳ τῆς κζʹ ἑβδομάδος.

**Εὐαγγέλιον ὁσιακόν, ἐκ τοῦ κατὰ Ματθαῖον...**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς...

Ζήτει αὐτὸ ἐν τῇ μνήμῃ τοῦ Ἁγίου Σάββα τῇ εʹ Δεκεμβρίου.

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον...

**Μεγαλυνάριον.***

Χαίροις Μυροβλύτα Πάτερ Σοφέ, Θεόφιλε Μάκαρ, τῶν Ὁσίων ἡ καλλονή, Ζιχναίων τὸ κλέος, Ἄθω ἡ εὐωδία, ἡμῶν δὲ τῶν σῶν δούλων πρέσβυς θερμότατος.

**Στίχοι Ἰαμβικοί: (Ἁγ. Νικοδήμου).**

Χεὶρ ἣ χάραξε τύπον ἔσται μὲν κόνις,
Τύπος δὲ ἔσται ἐσαεί, ἀλλ᾽ οὐ κόνις.



* Τὸ Μεγαλυνάριον εἰς τὸ χειρόγραφον εἶναι προσθήκη νεωτέρας χειρός, καθὼς καὶ οἱ «Στίχοι Ἰαμβικοί». Ἔχει δὲ τὸ χειρόγραφον «τῶν Ζιχνῶν» ἀντὶ «Ζιχναίων», ὡς διωρθώσαμεν ὡς ὀρθότερον.